# 20 DECEMBRIE
# GHEORGHIOS APOSTOLAKIS

# SLUJBA SF.IERARH FILOGONIE, ARHIEPISCOPUL ANTIOHIEI SIRIEI



# MINEIUL PE DECEMBRIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Ἀκολουθία Ἁγίου ΦΙΛΟΓΟΝΙΟΥ, ἀρχιεπ. Ἀντιοχείας

## 20 Δεκεμβρίου

## Ποίημα Γεώργιος Ἀποστολάκης

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Ὡς Ἱεράρχην Κυρίου, ἀνευφημοῦμέν σε, τῆς Ἐκκλησίας γέρας, καί στερρόν ἀληθείας, ἀμύντορα τιμῶμέν σε οἱ πιστοί, Φιλογόνιε δίκαιε, ὅτι ἀστήρ ἀνεδείχθης πασιφαής, σελαγίζων Ἀντιόχειαν.

Τήν μακαρίαν σου μνήμην, τελοῦμεν Ἅγιε, καί ᾄδομέν σοι ὕμνους, Φιλογόνιε θεῖε, θαυμάζοντες σεπτήν σου τήν βιοτήν, καί τήν ἄριστον ποίμανσιν, τῶν λογικῶν σου προβάτων ἃ ὁ Χριστός, ταῖς χερσί σου ἐμπεπίστευκε.

Συνηγορῶν ἀδυνάτοις, ἐν δίκαις πάνσοφε, δικαιοσύνην πᾶσαν, ἀπεδίδους πρεπόντως, καί λάμψας ὑπέρ ἥλιος φαεινός, Φιλογόνιε πάνσεπτε, ἐπί τό βῆμα προσήχθης τό ἱερόν, ἐπινεύσει Θείου Πνεύματος.

Ἐν οὐρανοῖς νῦν ἀγάλλῃ, θείοις σκηνώμασι, καί παῤῥησίαν ἔχων, τῇ Ἁγίᾳ Τριάδι, πρεσβείας ἀναπέμπεις ὑπέρ ἡμῶν, τῶν τιμώντων τήν μνήμην σου, τήν πανσεβάσμιον πάνυ καί ἱεράν, Πατριάρχα Φιλογόνιε.

Δόξα. Ἦχος πλ. δ'.

Οὐρανίοις φρονήμασι καί ἀρεταῖς, κεκοσμημένος πανάριστε, ὥσπερ ἀστήρ ἑωθινός, Ἀντιοχείᾳ κατέλαμπες· συνηγορῶν γάρ ἐν βήματι δικαστικῷ, ἀδυνάτους ἐνίσχυες, δίκαιος καλούμενος καί μεγαλόψυχος· ὅθεν ἐκ μέσης τῆς

ἀγορᾶς, ἀνηρπάσθης ὑπό τοῦ λαοῦ, καί ἐπί θρόνον ἤχθης λαμπρότατον, Ἀποστολικήν ἐκδεξάμενος ἐξουσίαν, καί διάδοχος γενόμενος Ἱερέ, Ἰγνατίου τοῦ Θεοφόρου, μεθ' οὗ τιμῶμεν σήμερον, τήν πανίερόν σου κοίμησιν.

Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ὁ αὐτός.

Ὑπόδεξαι Βηθλεέμ, τήν τοῦ Θεοῦ Μητρόπολιν. Φῶς γάρ τό ἄδυτον ἐπί σέ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπί τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τό τρισόκλεον δῶρον προκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τόν τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοή αἰνεσάτω τόν Παντουργέτην.

Εἰς τόν Στίχον. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Πάντες νῦν οἱ πιστοί, ἐν Πνεύματι Ἁγίῳ, αἰνέσωμεν αἰσίως, τόν μέγαν Ἱεράρχην, Ἀντιοχείας κλέος.

Στ. *Τό στόμα μου λαλήσει σοφίαν καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Ἄρειον δυσσεβῆ, κατῄσχυνας στηρίξας, τήν Ὀρθοδόξων πίστιν, λαμπρύνας Ἐκκλησίας, τό φωταυγές στερέωμα.

Στ. *Στόμα Δικαίου ἀποστάζει σοφίαν, χείλη δέ ἀνδρῶν ἐπίστανται χάριτας.*

Ὕμνους σοι μελῳδεῖ, ἡ τάξις δικηγόρων, κατέχουσά σε Πάτερ, ὡς ὄντα δικολόγον, προστάτην καί ὑπόδειγμα.

Δόξα. Ἦχος β'.

Ἀρχιεραρχῶν τυγχάνεις, ἱερόν και τερπνόν φροντιστήριον, ὅτι ἀοίδιμε Πάτερ, ἱεραρχικήν στολήν ἐνδυσάμενος, θεοφιλῶς ἐποίμανας, τήν ἐμπιστευθεῖσάν σοι Ἐκκλησίαν, γεγονώς ἑωσφόρος λαμπρός ἐπισκοπῆς σου. Ὅθεν πρέσβευε ὑπέρ ἡμῶν Κυρίῳ, εὑρεῖν τό μέγα ἔλεος.

Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ὁ αὐτός.

Ἰδού καιρός ἤγγικε τῆς σωτηρίας ἡμῶν. Εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεέμ γῆ ᾿Ιούδα, τέρπου καί ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. ᾿Ακούσατε ὄρη καί βουνοί, καί τά περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Τοῦ Ἁγίου. Ἦχος γ'. Θείας πίστεως.

Φιλογόνιον Ἀντιοχείας, ἀρχιποίμενα ἐκ δικολόγων, προαχθέντα τῇ ψήφῳ τοῦ Πνεύματος, τόν τοῦ Ἀρείου τῇ πλάνῃ πολέμιον, καί ὀρθοδόξων δογμάτων ὑπέρμαχον, ὕμνοις ἅπαντες, αἰσίαις φωναῖς δοξάσωμεν, αἰτούμενοι αὐτοῦ λιτάς πρός Κύριον.

Ἕτερον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Φιλογόνιον πάντες, ἐν ᾠδαῖς ἀνυμνήσωμεν, τῆς Ἀντιοχείας τό κλέος, δικολόγων ὡράϊσμα· σεπτήν γάρ ἐπιδείξας βιοτήν, ἐπίσκοπος ὡρίσθη ἐκ Θεοῦ, ὀρθοδόξων δέ δογμάτων ὑπερμαχῶν, τόν Ἄρειον ἐτρόπωσεν. Δόξα τῷ σέ δοξάσαντι Χριστῷ, δόξα τῷ σέ μεγαλύναντι, δόξα τῷ σέ ἀκέστορα θερμόν ἡμῖν δωρήσαντι.

Δόξα. Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τό ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καί γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τό θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσομεν, οὐχί δέ ὡς ὁ Ἀδάμ τεθνηξόμεθα. Χριστός γεννᾶται, τήν πρίν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Ἀπόλυσις.

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τό τῆς Χάριτος ὄργανον, τόν ἀδέκαστον ἄνθρωπον, πάνσοφον γενναῖον καί μεγαλόψυχον, Ὀρθοδοξίας τόν πρόμαχον, Ἀρείου διώκτην τε, Πατριάρχην τόν κλεινόν, Ἐκκλησίας τό στήριγμα, χαριτότευκτον, τόν Ποιμένα λαμπρῆς Ἀντιοχείας, εὐφημίσωμεν ἐνθέως, τόν ἱερόν Φιλογόνιον.

Μακαρίσωμεν ἅπαντες, τόν Ἀγγέλοις ὁμόφρονα, πάντερπνον Τριάδος τό ἐνδιαίτημα, τῶν Ἀποστόλων ἐκτύπωμα, κανόνα εὐθύτατον, ἀρετῶν καί τῶν ψυχῶν, οἰκονόμον ἀλάνθαστον, τόν αἰδέσιμον, Φιλογόνιον ὃς ἐκ δικολόγων, ὤφθη Πνεύματος τῇ ψήφῳ, Ἀρχιερεύς θεοφόρητος.

Νομικῶν ἐπαγγέλματα, κατευφραίνονται σήμερον, κοίμησιν τήν θείαν συνεορτάζοντες, τοῦ πανοσίου κοσμήτορος, τερπνῆς ὁμηγύρεως, δικηγόρων εὐσεβῶν, τοῦ αἰσχύναντος Ἄρειον, καί ποιμάναντος, ὀρθοδόξως λαόν Ἀντιοχείας, ὃν ἐπῄνεσεν ἐν λόγῳ, τοῦ Χρυσοστόμου ἡ κάλαμος.

Χαρισμάτων τοῦ Πνεύματος, ὡς δοχεῖον τό πάντιμον, σύμπαντες τιμήσωμεν Φιλογόνιον, τοῦ Ἰγνατίου διάδοχον, λαμπρόν ἀρχιποίμενα, τοῦ ποιμνίου ὡς κριόν, ἱερῶς ἡγησάμενον· Λικινίου γάρ, τάς ἐσχάτας διώξεις ὑπομείνας, καί λαόν καθοδηγήσας, τήν Ἐκκλησίαν ἀνέστησεν.

Τοῦ Ἀρείου ἀπόνοιαν, ἀπεκρούσω σεβάσμιε, στύλος καθιστάμενος θείας πίστεως, Ὀρθοδοξίας τε πρόμαχος, σεπτέ Φιλογόνιε, καί αἱρέσεων ὁδούς, πρός λαόν σου

ἀπέκοψας· ὅθεν ἅπαντες, Ὀρθοδόξων οἱ σύλλογοι τρισμάκαρ, ἑορτάζομεν σήν μνήμην, καί τήν ὁσίαν σου κοίμησιν.

Τῶν δικαίων τό πρότυπον, δικολόγων ὑπόδειγμα, ἵστασαι τρισόλβιε Φιλογόνιε· δικαστικῷ γάρ τῷ βήματι, ὡς ἥλιος ἔλαμπες, τοῖς πτωχοῖς συνηγορῶν, ἀδυνάτοις ἀμύνων τε, ὃν ἐκάλεσεν, ἡ μελίρρυτος γλῶσσα Χρυσοστόμου, μεγαλόψυχον γενναῖον, καί δικαιότατον ἄνθρωπον.

Δόξα. Ἦχος πλ. β΄.

Μακαρίζομέν σε Πάτερ πανσεβάσμιε, καί ἐνθέως τιμῶμεν τήν μνήμην σου, ὅτι εἰ καί μετετάξω, καί πόλιν ἀφῆκες τήν παρ᾽ ἡμῖν, ὡς ὁ Χρυσόστομός σοι ἔφη, εἰς ἑτέραν ἀνέβης πόλιν, τήν τοῦ Θεοῦ ἀξιάγαστε· καί ταύτην καταλιπών Ἐκκλησίαν, εἰς ἐκείνην τελεῖς εὐφραινόμενος, τῆς τῶν Πρωτοτόκων, τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς· καί τάς ἑορτάς ταύτας ἀφείς, πρός τήν τῶν Ἀγγέλων μετέστης πανήγυριν· ὅθεν αἴτησαι Δεσπότην, δωρηθῆναι σαῖς πρεσβείαις, καί ἡμῖν τό μέγα ἔλεος.

Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ὁ αὐτός.

Ὑπόδεξαι Βηθλεέμ, τήν τοῦ Θεοῦ Μητρόπολιν. Φῶς γάρ τό ἄδυτον ἐπί σέ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπί τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τό τρισόκλεον δῶρον προκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τόν τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοή αἰνεσάτω τόν Παντουργέτην.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. γ΄ 1-9).

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψητε αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσι, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης· καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπί αὐτῷ, συνήσουσιν ἀλήθειαν καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ.ε΄15-23,στ΄1-3)

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ· διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί το διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανολίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης και περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δε ἀπότομον ὀργήν, εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος εἰ τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς από εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσης,

ποταμοί δε συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

Παροιμιῶν τό Ἀνάγνωσμα (Κεφ. ι΄6-7, γ΄13 - 16).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καί εὐλογία Κυρίου ἐπί κεφαλήν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρεν σοφίαν, καί θνητός ὃς εἶδε φρόνησιν. Κρεῖσσον γάρ αὐτήν ἐμπορεύεσθαι, ἤ χρυσίου και ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. Οὐκ ἀντιτάσσεται αὐτῇ οὐδέν πονηρόν, εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν. Πᾶν δέ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γάρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δέ καί ἔλεον ἐπί γλώσσης φορεῖ. Τοιγαροῦν, ἀκούσατέ μου ὦ τέκνα· σεμνά γάρ ἐρῶ. Καί μακάριος ἄνθρωπος, ὃς τάς ἐμάς ὁδούς φυλάξει. Αἱ γάρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καί ἑτοιμάζεται θέλησις παρά Κυρίου. Διά τοῦτο παρακαλῶ ὑμᾶς, καί προΐεμαι ἐμήν φωνήν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγώ ἡ σοφία κατεσκεύασα βουλήν καί γνῶσιν καί ἔννοιαν· ἐγώ ἐπεκαλεσάμην. Ἐμή βουλή καί ἀσφάλεια, ἐμή φρόνησις, ἐμή δέ ἰσχύς. Ἐγώ τούς ἐμέ φιλοῦντας ἀγαπῶ, οἱ δέ ἐμέ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δέ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καί πάλιν, σεμνά γάρ ἐρῶ, καί ἀνοίγω ἀπό χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δέ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετά δικαιοσύνης πάντα τά ρήματα τοῦ στόματός μου, οὐδέν

ἐν αὐτοῖς σκολιόν· οὐδέ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστι τοῖς νοοῦσι, καί ὀρθά τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γάρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπίς ὑμῶν, καί πλησθήσεσθε Πνεύματος.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Θεοτίμητε Πάτερ Φιλογόνιε, πόθεν ἡμῖν ἀρκτέον τῶν ἐγκωμίων; Ὅτι ἀπό δικολόγου Ἐπίσκοπος ἐγένου. Ἐκ μέσης γάρ τῆς ἀγορᾶς ἁρπασθείς, ἐπί τόν θρόνον ἤχθης Ἀντιοχείας. Οὕτω σεμνόν καί λαμπρόν, τόν πρότερον ἐπεδείξω βίον, καί γυναῖκα ἔχων καί θυγατέρα, καί ἐν δικαστηρίῳ στρεφόμενος· οὕτω ὑπέρ τόν ἥλιον ἔλαμψες, ὡς εὐθέως ἐκεῖθεν φανῆναι, ἄξιος ταύτης τῆς ἀρχῆς, καί ἀπό βήματος δικαστικοῦ, ἐπί βῆμα ἱερόν ἀνῆλθες· διό σε ἐπαξίως ὁ Χριστός ἐδόξασεν.

Ἦχος β΄.

Σέ τόν μέγαν Ἀρχιερέα, Ἀντιοχείας τό ἐγκαλλώπισμα, Χριστιανῶν τεῖχος τό ἀρραγές, καί δικολόγων κοσμήτορα πάνσεπτον, ἀνευφημοῦμεν πόθῳ καί μεγαλύνομεν, καί καλοῦμέν σε χαριτόβρυτον, λειμῶνα μυρίπνοον καί θεῖον ἐνδιαίτημα, Ἀγγέλων ὁμόσκηνον ὑπερθαύμαστον, θεοπτικώτατον καί θεοκόσμητον, ἐραστήν τοῦ Θεοῦ μανικώτατον, τῆς Χάριτος ἐκζητητήν, καί φωτός θείου κληρονόμον· ὅθεν πρέσβευε ὑπέρ ἡμῶν ἁγιώτατε, τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

Ἦχος γ΄.

Χερσομανοῦσαν τήν γῆν Ἀντιοχείας, ἀνηῦρες Φιλογόνιε, ὅτι λαβών τήν ἀρχήν, ἄρτι του διωγμοῦ παυσαμένου, ζάλη συνεῖχε τό ποίμνιον, καί σύν τούτοις τά μολύσματα, τοῦ Ἀρείου ἐνέσκηψε. Ἀλλ’ ὡς ἥλιος Πάτερ, τῇ

δοθείσῃ ἄνωθεν σοφίᾳ, πρόβολος ἀτίνακτος κατέστης, καί πέτρα ἀρραγής Ἐκκλησίας, καταγγέλων τά ὀρθόδοξα· ὅθεν πίστει ἅπαντες τιμῶμεν σήν μνήμην, Ἱεράρχα θεσπέσιε.

Δόξα. Ἦχος πλ. δ'.

Τόν λαμπρότατον λύχνον τῆς διακρίσεως, τόν ἄριστον Ποιμένα καί διδάσκαλον, τόν ἀληθῆ μύστην τοῦ Σωτῆρος, πάντες οἱ πιστοί ἐπαινέσωμεν, ὅτι σκεῦος τίμιον τοῦ Παρακλήτου κατέστη, τῇ ἀγάπῃ τοῦ ποιμνίου ἐκτηκόμενος, καί κληρονόμος νῦν ἀγαθῶν αἰωνίων· διό πρέσβευε Πάτερ ὑπέρ ἡμῶν, εὑρεῖν τό μέγα ἔλεος!

Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ὁ αὐτός

Προεορτάσωμεν λαοί, Χριστοῦ τά γενέθλια· καί ἐπάραντες τόν νοῦν, ἐπί τήν Βηθλεέμ ἀναχθῶμεν τῇ διανοίᾳ, καί κατίδωμεν τήν Παρθένον, τοῖς ψυχικοῖς λογισμοῖς, ἐπειγομένην τίκτειν ἐν Σπηλαίῳ, τόν τῶν ὅλων Κύριον καί Θεόν ἡμῶν· οὗ Ἰωσήφ κατιδών τῶν θαυμάτων τό μέγεθος, ἐδόκει ἄνθρωπον θεωρεῖν, ὡς βρέφος σπαργανούμενον· ὑπενόει δέ ἐκ τῶν πραγμάτων, Θεόν εἶναι ἀληθινόν, τόν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν, τό μέγα ἔλεος.

Εἰς τόν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἀντιοχείας κλεινέ, Ἀρχιερεῦ τῶν δικολόγων θησαύρισμα, ἐν πράξει καί θεωρίᾳ, λελαμπρυσμένος σοφέ, Ὀρθοδόξων σάλπιγξ ἡ κηρύξασα, Χριστοῦ τήν θεότητα, τοῦ Ἀρείου τά ζιζάνια, ἀποξηράνας, τῇ δυνάμει τοῦ Πνεύματος, ἱερώτατε καί σεπτέ Φιλογόνιε· ὅθεν σε μακαρίζοντες, δεόμεθα Ὅσιε, ὡς πρός πατέρα τά τέκνα, ἡμῶν τά γόνατα κλίνοντες, Χριστόν ἐκδυσώπει, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τό μέγα ἔλεος.

Στ. *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις Πατριαρχῶν κορωνίς, διαποιμάνας ὡς πατήρ τό σόν ποίμνιον, καί γάλακτι γαλουχήσας, πνευματικῷ ἐν Χριστῷ, ἐκ φθορᾶς Ἀρείου ἠλευθέρωσας. Γλυκύτητι λόγων σου, ὡς μαγνήτης προσείλκυες, πιστῶν τά πλήθη, καταστάς παντερπνότατον, φροντιστήριον, καί Θεοῦ τό μεγάφωνον· ὅθεν αἰδεσιμώτατε, Χριστόν καθικέτευε, τήν Ἐκκλησίαν φυλάττειν, ἀπό κυμάτων αἱρέσεων, θελόντων μολῦναι, τήν ἁγίαν ἡμῶν πίστιν, τήν μόνην σῴζουσαν.

Στ. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Δεῦτε, τῶν νομικῶν οἱ χοροί, καί ἐξαιρέτως δικηγόρων οἱ σύλλογοι, τιμήσωμεν Πατριάρχην, Ἀντιοχείας λαμπρᾶς, ἐξ οἰκείων κόλπων καταγόμενον· πτωχοῖς γάρ ἐνίσχυσις, ἀδυνάτοις παράκλησις, ἀδικουμένοις, ἡ βεβαία δικαίωσις, καί ἀνάργυρος, προσεγένου ὁ ἔνθεος· ὅθεν ἀπό τοῦ βήματος, ἡρπάσθη ὁ Ὅσιος, δικαστηρίου καί αὖθις, ἐπί τό βῆμα τοῦ ἄμβωνος, ἐστήθη ἀξίως, ὡς ὁ ἥλιος ἐκλάμψας, φωτίζων ἅπαντας.

Δόξα. Ἦχος πλ. δ΄.

Ἡ Ἀντιόχεια καί πᾶσα ἡ Ἐκκλησία, τῆς ἀληθείας σε ἐγνώρισεν πρόμαχον, καί καθαιρέτην Ἀρείου, βλασφημήσαντος τόν Υἱόν ὡς κτίσμα, ὃν καί κατῄσχυνας, εὐστόμῳ τῇ γλώττῃ σου· διό καί ὁ Ἄρειος, γραπτῶς ἐχθρόν σε ἐκήρυξεν, γενόμενον οὕτω, ἀληθῆ φίλον Κυρίου, ἱερέ Φιλογόνιε.

Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ὁ αὐτός.

Ἄκουε οὐρανέ, καί ἐνωτίζου ἡ γῆ· ἰδού γάρ ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ καί Πατρός, πρόεισι τεχθῆναι, ἐκ κόρης ἀπειράνδρου, εὐδοκίᾳ τοῦ φύσαντος αὐτόν ἀπαθῶς, καί συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Βηθλεέμ εὐτρεπίζου,

ἄνοιγε πύλην ἡ Ἐδέμ· ὅτι ὁ Πλαστουργός πάσης κτίσεως διαπλάττεται, ὁ παρέχων τῷ κόσμῳ, τό μέγα ἔλεος.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Τοῦ Ἁγίου. Ἦχος γ'. Θείας πίστεως.

Φιλογόνιον Ἀντιοχείας, ἀρχιποίμενα ἐκ δικολόγων, προαχθέντα τῇ ψήφῳ τοῦ Πνεύματος, τόν τοῦ Ἀρείου τῇ πλάνῃ πολέμιον, καί ὀρθοδόξων δογμάτων ὑπέρμαχον, ὕμνοις ἅπαντες, αἰσίαις φωναῖς δοξάσωμεν, αἰτούμενοι αὐτοῦ λιτάς πρός Κύριον.

Ἕτερον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Φιλογόνιον πάντες, ἐν ᾠδαῖς ἀνυμνήσωμεν, τῆς Ἀντιοχείας τό κλέος, δικολόγων ὡράϊσμα· σεπτήν γάρ ἐπιδείξας βιοτήν, Ἐπίσκοπος ὡρίσθη ἐκ Θεοῦ, ὀρθοδόξων δέ δογμάτων ὑπερμαχῶν, τόν Ἄρειον ἐτρόπωσεν. Δόξα τῷ σέ δοξάσαντι Χριστόν, δόξα τῷ σέ μεγαλύναντι, δόξα τῷ σέ ἀκέστορα θερμόν, ἡμῖν δωρήσαντι.

Δόξα. Καί νῦν. Προεόρτιον. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τό ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καί γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τό θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσομεν, οὐχί δέ ὡς ὁ Ἀδάμ τεθνηξόμεθα. Χριστός γεννᾶται, τήν πρίν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Ἀπόλυσις.

# ΟΡΘΡΟΣ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ἐπέφανεν ἰδού, τοῦ σεπτοῦ Πατριάρχου, ἡ μνήμη· ὅθεν νῦν, ἀνακράξωμεν πόθῳ· παμμάκαρ Φιλογόνιε, δι᾽ εὐχῶν σου ἱλάσθητι, πάντων Κύριον, καί Ἐκκλησίας Δεσπότην, ἵνα ἔλεος, τοῖς Ὀρθοδόξοις παράσχῃ, καί σώσῃ τούς κάμνοντας.

Δόξα. Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ὁ αὐτός.

Ὁ κλίνας οὐρανούς, καί Παρθένῳ οἰκήσας, προέρχεται σαρκί, Βηθλεέμ ἐν Σπηλαίῳ, τεχθῆναι καθώς γέγραπται, ὁραθῆναί τε νήπιος, ὁ τά νήπια, ζωογονῶν ἐν τῇ μήτρᾳ. Τούτῳ χαίροντες, νῦν ὑπαντήσωμεν πάντες, καρδίας εὐθύτητι.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Ψήφῳ Πνεύματος κεκληρωμένος, τήν ἐκποίμανσιν Ἀντιοχείας, ἐν διωγμῶν τῇ λήξει παρείληφας, καί γαληνεύσας τῆς ζάλης τά κύματα, Ὀρθοδοξίᾳ τήν πίστιν ἐστήριξας, ὅτι Ἄρειος, Χριστόν ὡς κτιστόν ἐκήρυττεν, οὗ ᾔσχυνας τήν πλάνην θείοις λόγοις σου.

Δόξα. Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ἀγάλλου ἡ Σιών, Βηθλεέμ εὐτρεπίζου. Ὁ πάντων συνοχεύς, τόν ἀστέρα προπέμψας, μηνύει τήν ἄμετρον, Ἑαυτοῦ συγκατάβασιν· Ὅν γάρ τρέμουσιν, τῶν οὐρανῶν αἱ Δυνάμεις, ὄντως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος Φιλάνθρωπος.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τῇ πανοσίᾳ καί σεπτῇ βιοτῇ σου, ὥσπερ ὁ ἥλιος ἐξέλαμψας Πάτερ, Ἀντιοχείας δῆμον καταπλήξας τῶν πιστῶν· ὅθεν σε ἐξήρπασαν, ὑποδείξει τῇ θείᾳ, ἅπαντες ὁμόφρονες, καί ἐν θρόνῳ ἀρχαίῳ, λαοῦ κατέστησάν σε κεφαλήν, ἡμῶν τό κλέος σοφέ Φιλογόνιε.

Δόξα. Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου. Ἦχος γ'. Τήν ὡραιότητα.

Χαρᾶς πεπλήρωται, πάντα τά πέρατα· ἡ Θεοτόκος γάρ, γεννᾶν ἐπείγεται, τόν Βασιλέα τοῦ παντός· ὢ θαύματος ἀνερμηνεύτου! Ἄρχεται ὁ ἄναρχος, καί σαρκοῦται ὁ ἄσαρκος, σπήλαιον εἰσδέχεται, τόν συνέχοντα ἅπαντα. Ἡ Βηθλεέμ ἀγάλλου καί χόρευε, ἡ κτίσις ἡμέραν προεόρτιον.

Οἱ Ἀναβαθμοί· τό Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον. *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ. *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, ἐξανθήσει.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (Κεφ. ι' 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ’ ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν

φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, ὁσιώτατε Πάτερ, ἐξεχύθη ἡ ἀλήθεια ἐκ χειλέων σου, καί ἐδίδαξας τό λογικόν σου ποίμνιον, τόν Ἰησοῦν πιστεύειν, Θεόν καί ἄνθρωπον τέλειον.

Εἶτα οἱ Κανόνες· ὁ Προεόρτιος καί τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· *ΣΥΝΗΓΟΡΩΝ ΔΙΚΑΙΟΥΣ ΦΙΛΟΓΟΝΙΕ ΣΩΣΟΝ. Γ*(ΕΩΡΓΙΟΥ)

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Σήν δόξαν ὁρῶν τήν ἐν οὐρανοῖς, θαμβοῦμαι ὦ Πάτερ, Φιλογόνιε θαυμαστέ· διό σύ τάς λέξεις μοι χορήγει, ἳνα ὑμνήσω τά κλέη σου πάνσοφε.

Ὑπέρμαχος Πάτερ καί νῦν γενοῦ, δογμάτων ὁσίων, Ἐκκλησίας τῆς τοῦ Χριστοῦ, καί δίωξον πάσας τάς αἱρέσεις, ὣσπερ Ἀρείου τήν πλάνην κατέρριψας.

Ναμάτων γευθείς τῶν πνευματικῶν, ἐπόμβρησον θεῖον, γλυκασμόν τόν ἐξ οὐρανοῦ, τοῖς τέκνοις σου οὖσι ἐν πικρίαις, καί πολυτρόποις δεινοῖς Φιλογόνιε.

Θεοτοκίον.

Ἡμῶν ἡ προστάτις καί ἡ χαρά, τυγχάνεις ὦ Μῆτερ, καί πιστῶν ἡ καταφυγή, ἀπαύστως πρεσβεύουσα Κυρίῳ, τῆς σωτηρίας Ἁγνή ὅπως τύχωμεν.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Γεγονώς Πατριάρχης, μυσταγωγός ἄριστος, τῶν Ἀντιοχέων κατέστης, μακαριώτατε· νῦν οὖν ὑπόδειξον, τοῖς ἀδιστάκτῳ καρδίᾳ, τῷ Χριστῷ πιστεύοντας, τρίβον σωτήριον.

Οὐρανόθεν σκεπάζεις, τούς σούς πιστούς Ἅγιε, χάριτας παρέχων ἀφθόνως, καί θεῖον ἔλεος, ὅτι νῦν κέκτησαι, πρός τόν Χριστόν παῤῥησίαν, δραστικαῖς πρεσβείαις σου, σῴζων τούς πάσχοντας.

Ῥιζοτόμος ἐδείχθης, ἀνομιῶν πάνσεμνε, παντός ἀδυνάτου ἀμύντωρ, ὁ γενναιότατος· διό μελίρρυτος, τοῦ Χρυσοστόμου ἡ γλῶττα, ἀληθῶς σ᾿ ἐκάλεσεν, δίκαιον ἄνθρωπον.

Θεοτοκίον.

Ὤφθης Κόρη τῷ κόσμῳ, θρόνος Θεοῦ πάντερνος, καί ὡς σωτηρίας αἰτίαν, πάντες ὑμνοῦμέν Σε, ὅτι πρεσβείαις Σου, ταῖς ῥυπτικαῖς ἀποπλύνεις, τῶν παθῶν βδελύγματα, Δέσποινα Ἄχραντε.

Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τοῦ Ἀρείου γέγονας, μέγας διώκτης, τήν Χριστοῦ Θεότητα, κηρύξας πᾶσι τοῖς πιστοῖς, καί τῶν δογμάτων ὀρθότητα, λόγοις στηρίξας, σεπτέ Φιλογόνιε.

Θεοτοκίον.

Μετανοίας αὔγασον, φωτί τόν νοῦν μου, Θεοτόκε Δέσποινα, ἀμαυρωθέντα λογισμοῖς, φθοροποιοῖς καί διάσωσον, πυρός γεαίνης· εἰμί γάρ κατάκριτος.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Νικηφόρως ἠγώνισαι, ἐν Ἀντιοχείᾳ ποιμάνας ἄριστα, ἣν Χριστός σοι ἐμπεπίστευκε, Ἐκκλησίαν Πάτερ τήν Ὀρθόδοξον.

Δικολόγων τό κόσμημα, καί τῶν εὐσεβῶν νομικῶν ὡράϊσμα, Φιλογόνιε παρίστασαι, ὅτι τούτων εἶ τό περιτείχισμα.

Ἱεράρχης πανάγιος, Πάτερ κατεδείχθης ὁσίῳ βίῳ σου, τῇ γλυκύτητι τῶν λόγων σου, τόν λαόν ἑλκύων πρός τόν Κύριον.

Θεοτοκίον.

Καθοδήγησον Δέσποινα, πρός τάς σωτηρίους νομάς τά τέκνα Σου, τῆς σαρκός ἡμῶν φρονήματα, ταῖς λιταῖς Σου Μῆτερ κατακαίουσα.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ἅγιος Θεός, ἐνεχείρισέν σοι πάνσεπτε, καθοδήγησιν ποιμνίου λογικοῦ, οὗ ἐγένου θησαυρός ὁ ανεξάντλητος.

Ἴσος ἐν τῇ γῇ, νοεραῖς οὐσίαις γέγονας, φύσει γήϊνος τυγχάνων καί φθαρτός, καί συνίστασαι Χριστῷ ὡς φίλος γνήσιος.

Ὄμβρησον ἡμῖν, οὐρανόθεν θεῖον ἔλεος, καί τοῖς νάμασι κατάρδευσον σεπτέ, Παραδείσου τάς ψυχάς ἡμῶν δεόμεθα.

Θεοτοκίον.

Ὕψωσον ἡμῶν, ἐκ ματαίων τήν διάνοιαν, καί πρός τρίβον τῆς ἐν Πνεύματι ζωῆς, Παναμώμητε ὁδήγησον τα βήματα.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Συντήρησον, λειτουργούς τοῦ δικαίου, νομοθέτας δικαστάς δικηγόρους, καί νομικῶν πᾶσαν τάξιν ἐν γένει, ἐν Ὀρθοδόξων τῇ πίστει πανόλβιε, καί ἔμπνευσον τύπον ζωῆς, ἐναρέτου ποθεῖν αὐτούς Ἅγιε.

Φωτίζεις, ἐξ οὐρανοῦ ὥσπερ ἄστρον, φαεινόν τούς Ἱεράρχας Κυρίου, ὧν τό γλυκύτατον καύχημα Πάτερ, καί τό ὑπόδειγμα πάντων παρίστασαι, ὅτι δεικνύεις τήν ὁδόν, τῆς ἀρίστου θεόφρον ποιμάνσεως.

Ἱκάνωσον, συνηγόρων τήν τάξιν, ἀνομίαν ἐκδιώκειν παμμάκαρ, καί Ἐκκλησίαν Χριστοῦ τήν Ἁγίαν, ἀπό κινδύνων φυλάττειν αἱρέσεων, καί δυσμενῶν ἐπιβουλῶν, ἐξ ἐχθρῶν κινουμένων ἑκάστοτε.

Θεοτοκίον.

Λιταῖς Σου, πρός τόν Δεσπότην πρεσβείαις, ἐξ ἀμέτρων Θεοτόκε πταισμάτων, τῆς μετανοίας τό δῶρόν μοι δίδου, ἳνα ῥυσθῶ τοῦ ἐρέβους κολάσεως, καί τάχος λύτρωσαι παθῶν, τήν ψυχήν μου Θεόνυμφε Δέποινα.

Κοντάκιον. Ἦχος α΄. Χορός ἀγγελικός.

Προστάς ὥσπερ πατήρ, τοῦ λαοῦ σου θεόφρον, εἰς δόξαν τοῦ Θεοῦ, κατηνάλωσας βίον· ναούς γάρ ἐδόμησας, καί εὐκτήρια ἵδρυσας, καί ἐκήρυξας Ἀντιοχείας τῷ πλήθει, τήν θεότητα, τοῦ Ἰησοῦ κατάῤῥίψας, Ἀρείου βδελύγματα.

Ὁ Οἶκος.

Ἅγιος Ἱεράρχης, ἀνεδείχθης τρισμάκαρ, λαόν Ἀντιοχείας ποιμάνας. Δικαιότατος ὤν ἐν βροτοῖς, ἀπό βήματος δικαστικοῦ ἄμεμπτε, τῇ Χάριτι τοῦ Πνεύματος, ἐν βήματι ναοῦ ἐστάθης· διό βοῶμεν σοι·

Χαῖρε, Ἀρείου τήν πλάνην σβήσας·
χαῖρε, πιστοῖς τά ὀρθά κηρύξας.
Χαῖρε, δικολόγων ἀρχαῖον θησαύρισμα·
χαῖρε, συνηγόρων δικαίων ὑπόδειγμα.
Χαῖρε, ὗψος ταπεινώσεως δι᾽ ἀσκήσεως πολλῆς·
χαῖρε, βάθος διακρίσεως δυσθεώρητον βροτοῖς.
Χαῖρε, ὅτι ἐγένου Ἱεράρχης ἐν γάμῳ·
χαῖρε, ὅτι τῇ ψήφῳ τοῦ Θεοῦ ἀνεδείχθης.
Χαῖρε, ἐν λόγοις λάμψας καί πράξεσι·
χαῖρε, διδάξας Πνεύματος Χάριτι.
Χαῖρε, φωστήρ τῆς Χριστοῦ Ἐκκλησίας·
χαῖρε, φωνή καί πηγή ἀληθείας.
Χαῖρε, Πάτερ πανόλβιε.

Συναξάριον.

Τῇ Κ᾽ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Φιλογονίου, Ἀρχιεπισκόπου Ἀντιοχείας, τοῦ ἀπό Δικολόγων.

Στίχοι.

*Ἔλαμψε λόγοις ἀνήρ δίκαιος.*
*Φῶς Ὀρθοδόξοις, πῦρ δ’ αἱρετικούς φλέγον.*
*Ἄντυγ᾽ ἐς Οὐρανίην ἀναδέδραμε Φιλογόνιος εἰκάδι.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὁ ἰσάγγελος βίος, ὅν διήνυσας Πάτερ, τοῖς πᾶσι δέδεικται, κανών πρός σωτηρίαν, τοῖς θέλουσι σωθῆναι, προσευχαῖς καί δεήσεσι, ταῖς πρός Σωτῆρα Χριστόν, τόν Ἕνα τῆς Τριάδος.

Γεωργήσας πανσόφως, τῷ ἀρότρῳ σῷ λόγῳ, Πάτερ πανόλβιε, ἀγρόν τῆς Ἐκκλησίας, εἰς ὕψος μέγα ἤρθης, διδασκάλων ἰσότιμος, ὡς τοῦ Σωτῆρος Χριστοῦ, θεότητα κηρύξας.

Ὁρισθείς Ἀρχιθύτης, νυσταγμόν τοῖς βλεφάροις, Πάτερ οὐκ ἔδωκας, τήν πλάνην ἕως ὅτου, κατέρριψας Ἀρείου, καί δογμάτων ὀρθότητα, Ἀντιοχείας λαῷ, ἐδίδαξας ἐνθέως.

Θεοτοκίον.

Νεκρωθέντα Παρθένε, ἁμαρτίαις τόν νοῦν μου, εὐχαῖς Σου ζώωσον, καί δός μοι μετανοίας, καρπούς καί τῶν δακρύων, τό πανίερον χάρισμα, ἵνα δοξάζω Χριστόν, ἐκ Σοῦ τόν γεννηθέντα.

Ὠδή η'. Τόν Βασιλέα.

Ἰλύος πάσης, τῆς ἐμπαθοῦς μου καρδίας, κάθαρόν με Φιλογόνιε λιταῖς σου, καί σήν εὐλογίαν, χορήγει μυστικῶς μοι.

Ἐξ ἁμαρτίας, καί πονηρᾶς συνηθείας, λύτρωσόν με Φιλογόνιε τρισμάκαρ, ὡς λαβών θεόθεν, πολλήν τήν θείαν χάριν.

Σῶσόν με Πάτερ, προσπίπτοντά σοι ἐν πίστει, ἐξαιτούμενον ἀόκνους σου πρεσβείας, ἵνα τοῦ παρόντος, κινδύνου διαφύγω.

Θεοτοκίον.

Ὢ τῆς μεγίστης, φιλανθρωπίας τοῦ Κτίστου, εἰσακούοντος Μητρός τάς ἱκεσίας, χάριν σωτηρίας, παντός προσδεομένου.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Σοῖς ῥήμασι θεόφρον, Ἄρειος ἐπλήγη, καί ἡ ἀμόλυντος πίστις ἐστήρικται· διό τιμῶμεν σήν μνήμην, καί εὐφημοῦμέν σε.

Ὁμήγυρις ἁγίαν, σήν τελεῖ τήν μνήμην, τῶν εὐλαβῶν συνηγόρων θεόσοφε, καί προσφωνεῖ σε προστάτην, αὐτῆς καί πρόεδρον.

Ναμάτων τῶν ἐνθέων, ὧν πεπληρωμένος, ἐξ οὐρανοῦ γλυκασμόν ἡμῖν δώρησαι, συνεχομένοις τῷ πλήθει, πταισμάτων Ἅγιε.

Θεοτοκίον.

Γεννήσασα τόν Κτίστην, κέκτησαι μεγίστην, τήν παῤῥησίαν Παρθένε Θεόνυμφε, πρός τόν Υἱόν σου τόν πάντας, σωθῆναι θέλοντα.

Ἐξαποστειλάρια.

Τοῦ Ἁγίου. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Προστάτην σε κεκτήμεθα, πρός τόν Θεόν θερμότατον, ὃν καθικέτευε Πάτερ, τούς ἐκτελοῦντας σήν μνήμην, ἐλεηθῆναι ἅπαντας, πάνσεπτε Φιλογόνιε, καί φύλαττε ἀπήμονας, ἐξ ἁμαρτίας καί βλάβης, ἳνα σωθῶμεν ἐν Κρίσει.

Προεόρτιον ἐκ τοῦ Μηναίου. Ὅμοιον.

Πιστοί τά προεόρτια, τῶν Γενεθλίων ᾄσματα, νῦν προηχήσωμεν πίστει· ἔρχεται ἣκει γάρ Χριστός, ἐν Βηθλεέμ τοῦ τεχθῆναι, ὡς βροτός ἐκ Παρθένου, καί ὁραθῆναι νήπιος, σπαργάνοις ἐνειλημένος, ὁ πρό αἰώνων ὑπάρχων.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος πλ. α'. Ποίοις εὐφημιῶν.

Ποῖον ἐγκωμιῶν στέφανον, καταστέψωμεν τόν Ἱεράρχην, τόν Ἀντιοχείᾳ ποιμάναντα, λαόν τοῦ Θεοῦ πανσοφώτατα; Τόν ὀξύν Ἀρείου ὀλετῆρα· τό ῥεῖθρον, δικαιοσύνης τό ἀκένωτον· τό στόμα, Ὀρθοδοξίας τό ἐξαίρετον· τῆς σωφροσύνης δοχεῖον, καί τοῦ Παρακλήτου, ἐνδιαίτημα καί ναόν, σεπτόν Φιλογόνιον, Ὀρθοδόξων τό ἐγκαλλώπισμα.

Ποίοις ἀσματικοῖς μέλεσιν, μελῳδήσωμεν τόν Ἱεράρχην, οὗ τήν ἑορτήν συνδιάγομεν, τόν ἐκ δικολόγων Ἐπίσκοπον, Πνεύματος θείᾳ ἐπινεύσει; Τό θεῖον, τῆς εὐσεβείας τό ἀγλάϊσμα· τό σκεῦος, τῆς ἀληθείας τό τερπνότατον· τῆς ἀρετῆς μέγα ὕψος, καί μυσταγωγίας, πληρωθέντα τῆς θεϊκῆς, σεπτόν Φιλογόνιον, συνηγόρων τό ὑπόδειγμα.

Ποίοις πνευματικοῖς ᾄσμασι, καθυμνήσωμεν τῶν δικολόγων, τό οὐρανοδώρητον κόσμημα, καί φωταγωγόν τῶν ψυχῶν ἡμῶν; Τῶν πλανῶν Ἀρείου καθαιρέτην· ἐνδόξου, Ἀντιοχείας Ἀρχιποίμενα· τόν μέγαν, τῆς Ἐκκλησίας τόν διδάσκαλον· ὁμολογίας ταμεῖον· φωτός τρισηλίου, κατασκήνωμα ταπεινόν, σεπτόν Φιλογόνιον, τοῦ Χριστοῦ ἱεροφάντορα.

Πάντες, εὐφραντικῶς ᾄσωμεν, Ἐκκλησίας τόν Ἀρχιεράρχην, βίου ἐναρέτου τό αὔγασμα, τό τῆς παῤῥησίας μεγάφωνον, καί ἀφανιστήν τῶν κακοδόξων· Πατέρων, τό πρυτανεῖον τό θεόληπτον· τόν τύπον, τῆς ποιμανσίας τόν γλυκύκαρπον· τό ἱλαστήριον πάντων, πιστῶς ἐκζητούντων, μεσιτείαν πρός τόν Χριστόν, σεπτόν Φιλογόνιον, δικηγόρων τό προσφύγιον.

Δόξα. Ἦχος πλ. β'.

Ἐξεχύθη ἡ Χάρις ἐν χείλεσί σου, ὁσιώτατε Πάτερ, καί ἐκ δικολόγων γέγονας, Ἀρχιποίμην τῆς Χριστοῦ ᾿Εκκλησίας, διδάξας σά πρόβατα, τήν τῶν δογμάτων ἀλήθειαν, πιστεύειν εἰς Τριάδα Ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Καί νῦν. Προεόρτιον ἐκ τοῦ Μηναίου.

Ἐγγίζει ὁ Χριστός, Βηθλεέμ προετοιμάζου. Ἤδη τῶν ἐθνῶν τό σωτήριον αὐγάζει. Εὐτρέπισον τήν Φάτνην, τούς Ποιμένας συνάγαγε, κάλεσον τούς Μάγους ἐκ Περσίας. Αἱ Στρατιαί τῶν Ἀσωμάτων, Νοῶν κραυγάζουσιν· ὁ Βασιλεύς τῶν οὐρανῶν, Χριστός παραγίγνεται.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

## Εἰς τήν Λειτουργίαν

Τά συνήθη. Ἀπόστολον καί Εὐαγγέλιον ζήτει τῇ ιγ' Νοεμβρίου.Κοινωνικόν.Εἰς μνημόσυνον αἰώνιον ...

Μεγαλυνάριον.

Χαίροις, Φιλογόνιε θαυμαστέ, τῆς Τριάδος μύστα, Ὀρθοδόξων προασπιστά, κακοδόξων μάστιξ, καί συνηγόρων κλέος, λαμπρέ Ἀντιοχείας, Ἀρχιεπίσκοπε.

Δίστιχον.

*Φιλογόνιε δίδου μοί Γεωργίῳ,*
*σήν εὐχήν· νομικῶν γάρ εἶ παραστάτης.*

